δεῖ οὖν τὸ σχῆμα. ἔδει γὰρ εἰπεῖν ὁ κῆρυξ εἰ μὴ νοστήσει. εἴσθεσις δὲ τῆς διπλῆς ἀμοιβαίας τῆς ὑποκειμένης. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι μδ΄. ὧν τελευταῖος. ἐγὼ δ᾽ ἐκείνων τοὺς προσιόντας δέξομαι. ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα. Ω Πεισθέταιρ.] ἄγγελος πεμφθεὶς εἰς ἀνθρώπους ἐξ ὀρνίθων ὑποστρέφει λέγων, ὅτι πάντες ἥδονται οἱ ἄνθρωποι ὄρνιθας κρατεῖν. Ω κα- A τακέλευσον.] οἱονεὶ σιωπὴν κήρυξον. οἱ γὰρ κελευσταὶ πολλάκις σιωπὴν καταγγέλλειν εἰώθασιν. σιώπα λέγοντες καὶ ἄκουε. καὶ τὰ ὅμοια. οὕτω Δίδυμος. ἐπεὶ δὲ πολλάκις εἴρηται ὦ, καὶ οὐκ ἐπέχει αὐτὸν ὁ Πεισθέταιρος, ὁ ἄγγελός φησι κατακέλευσον. ὥσπερ τοῖς ἐρέσσουσι. καὶ ὦ λέγει παύσασθαι προσκέλευσαί μοι.

Κήρ. Ω κλεινοτάτην αἰθέριον οἰκίσας πόλιν.
Οὐκ οἶσθ᾽ ὅσην τιμὴν παρ᾽ ἀνθρώποις φέρει;
Οσους τ᾽ ἐραστὰς τῆσδε τῆς χώρας ἔχεις.
Πρὶν μὲν γὰρ οἰκίσαι σε τήνδε τὴν πόλιν,
Ελακωνομάνουν πάντες ἄνθρωποι τότε.
Εκόμων. ἐπείνων. ἐρρύπων. ἐσωκράτουν.
Σκυτάλι᾽ ἐφόρουν. νυνὶ δ᾽ ὑποστρέψαντες αὖ
Ορνιθομανοῦσι. πάντα δ᾽ ὑπὸ τῆς ἡδονῆς
Ποιοῦσιν ἅπερ ὄρνιθες, ἐκμιμούμενοι.
Πρῶτον μὲν εὐθὺς, πάντες ἐξ εὐνῆς ἅμα
Επέτονθ᾽ ἕωθεν ὥσπερ ἡμεῖς ἐπὶ νομόν.
Κᾆπειτ᾽ ἂν, ἅμα κατῆραν ἐς τὰ βυβλία.
Εἶτ᾽ ἀπενέμοντ᾽ ἐνταῦθα τὰ ψηφίσματα.
Ορνιθομάνουν δ᾽ οὕτω περιφανῶς, ὥστε καὶ
Πολλοῖσιν ὀρνίθων ὀνόματ᾽ ἦν κείμενα.
Πέρδιξ μὲν εἷς κάπηλος ὠνομάζετο,
Χωλός. Μενίππῳ δ᾽ ἦν χελιδὼν τοὔνομα.
Οπουντίῳ δ᾽ ὀφθαλμὸν οὐκ ἔχων κόραξ.
Κορυδὸς Φιλοκλεῖ. χηναλώπηξ, Θεαγένει.

*Pr. O glorioſiſſimam ætheream habitans ciuitatem,*
B *Non ſcis quantum honorem ab hominibus fers,*
*Quotq́ amatores huius ciuitatis habes?*
*Ante quidem enim habitare te hanc ciuitatem,*
*Laconice furebant omnes homines: tunc*
*Habebant comas, eſuriebant, ſordebant, Socratiſabant,*
*Baculos ferebant. nunc autem ſubuertentes rurſus*
C *More auium furiunt. Omnia autem à voluptate*
*Faciunt, quæ aues imitantes*
*Primùm quidem ſtatim omnes ex lecto ſimul*
*Volabant manè, ſicut nos in pabulum.*
*Et poſtea ſimul eleuabant in libros,*
*Poſtea paſcebantur hic calculos.*
*More auium furebantur ſic manifeſtè, vt &*
*Multis auium nomina ſint ponentia.*
D *Perdix quidem vna, capelus nominatus eſt*
*Claudus, Menippo autem fuit hirundo nomen:*
*Opuntio autem oculum non habens, coruus*
*Corydus Philocli, chenalopex Theageni,*

Σχόλια. Ελακωνομάνουν] τῆς τῶν Λακώνων ἤρων πολιτείας. τοῦτο δὲ εἶπε διὰ τὸ ὑπερέχειν τοὺς Λάκωνας τῷ πολέμῳ τότε. ἄρχεται δὲ διαβάλλειν. διαβάλλει δὲ καὶ τὸν Σωκράτην ὡς λιπαρὸν καὶ ὡς πένητα. Εκόμων, ἐπείνων.] εἰπὼν τὸ ἐκόμων καὶ τὰ ἑξῆς, ἐπιτηδείως ἐπάγει τὸ ἐσωκράτουν. τοιοῦτοι γὰρ οἱ φιλόσοφοι. ἐκόμων δὲ καὶ οἱ Λάκωνες ὡς τρυφῶντες. Σκυτάλι᾽ ἐφόρουν] σκυτάλη ἤτοι Λακωνικὴ ἐπιστολὴ ἢ βακτηρία. ἐφόρουν γὰρ βαρείας βακτηρίας οἱ Λάκωνες. τὸ δὲ σκυτάλιον τὸ α ἐκτείνεται. ὡς ἐν Ὁλκάσιν. ἔνθα καὶ τὸ Νικοφῶντος, ἐξ Ἀφροδίτης γόνων παρετέθη. οὐκ ἐς κόρακας τὼ χεῖρ᾽ ἀποίσεις ἐκποδὼν ἀπὸ τοῦ σκυταλίου καὶ τῆς διφθέρας. οὕτω Σύμμαχος. ὁ δὲ Δίδυμος σκυτάλια τὰς βακτηρίας. αἷς τὰ σκύταλα τύπτουσιν ὅ ἐστι τοὺς τραχήλους. ἢ παύσει βάκτρῳ καλίνῳ σκύταλα Φρὺξ ἀνήρ. ἄλλως. σκυτάλη Λακωνικὴ ἐπιστολή. οὗτοι γὰρ μέλλοντες πέμπειν στρατηγὸν εἰς τὸν πόλεμον, ἐποίουν δύο ῥάβδους ἰσομήκεις. καὶ τὴν μὲν τῷ στρατηγῷ μέλλοντι ἐξιέναι εἰς πόλεμον, ἐδίδουν, τὴν δὲ παρ᾽ αὐτοῖς εἶχον. καὶ ὅτε βούλοιντο ἀπόρρητόν τι σημᾶναι τῷ ἀπόντι στρατηγῷ, ταύτῃ λευκὸν δέρμα περιελίξαντες, ἔγραφον εἰς αὐτὸ, καὶ ἀνελίττοντες παρεῖχον τὸν ἱμάντα τῷ ἀποφέροντι. τοῦτο δὲ ἐποίουν ἵνα μὴ μανθάνωσιν οἱ ἀποφέροντες τὸ δηλούμενον ἐν αὐτῷ. ὁ δὲ στρατηγὸς λαβὼν αὐτὸ, καὶ περιελίξας τῇ παρ᾽ αὐτῷ ῥάβδῳ ἀνεγίνωσκε. λέγεται οὖν καὶ ἡ ἐπιστολὴ καὶ αὐτὸ τὸ ξύλον. Διοσκορίδης δ᾽ ἐν τοῖς περὶ νομίμων, τοὺς δανείζοντας ἐν Σπάρτῃ διαιρεῖν σκυτάλην δύο παρόντων μαρτύρων. καὶ γράφειν τὸ συμβόλαιον ἐν ἑκατέρῳ τμήματι. καὶ τὸ μὲν ἑνὶ τῶν μαρτύρων διδόναι. τὸ δὲ δι᾽ ἑαυτοῦ ἔχειν. ἐχρῶντο δ᾽ αὐτῷ καὶ ἀλλοίως. ὡς Ἀριστοτέλης ἐν τῇ Ἰθακησίων πολιτείᾳ μβ. Σκυτάλι᾽ ἐφόρουν] πάλιν ἀντὶ τοῦ ἐλακώνιζον. καὶ ὅτι Λακωνικὸν τὸ τῆς σκυτάλης. ἔγραφον δὲ οὐ μόνον τῇ σκυτάλαις ἐγχαράσσοντες τὰς ἐπιστολὰς, ἀλλὰ καὶ βακτηρίαις. Κατῆραν εἰς τὰ βιβλία] ὡς ἐπὶ ὀρνίθων καθεζομένων. δέον δὲ εἰπεῖν εἰς τοὺς [illegible] ἔπαιξε δὲ εἰς τὸ φιλόδικον, εἰπὼν εἰς τὰ βιβλία, τουτέστιν εἰς τὰ ψηφίσματα. Εἶτ᾽ ἀπενέμοντ᾽ ἐνταῦθα] ἐνταῦθα συνηλειμμένον ἀμφίβολόν ἐστιν. ὃ καὶ ἐπιτήδευκε. διελόντι δὲ τὸ μέν ἐστιν ἐνέμοντο. τὸ δὲ, ἀπενέμοντο. E τουτέστιν ἀνεγίνωσκον. Πέρδιξ μὲν εἷς κάπηλος] ὁ μὲν Πέρδιξ σαφῶς ὄνομα κύριον. Μενίππῳ δὲ ἐπώνυμον ἦν χελιδών. τὸ δὲ ἑξῆς, καὶ τὸ οἰκεῖον εἴληπται, τῷ Ὀπουντίῳ λέγω τὸ κόραξ. ὅτι ἅρπαξ καὶ ἀηδής. ὅτι δὲ καὶ μονόφθαλμος οὗτος, προείρηται. οὐ πάντως δὲ ὡς ἐπώνυμον. κάπηλος δὲ ἀντὶ τοῦ μάγειρος. ἔσκαζε δὲ οὗτος. εἴρηται δὲ ἐν τοῖς πρόσθεν, ὅτι χωλὸς οὗτος ὁ Πέρδιξ. ἀφ᾽ οὗ φασι τὴν παροιμίαν Πέρδικος σκέλος, ἐπὶ τῶν λεπτοπόδων. ἄλλως ὁ Πέρδιξ ὄνομα καπήλου. χωλὸς δὲ ἦν οὗτος. μνημονεύει δὲ αὐτοῦ καὶ ἐν Ἀναγύρῳ. καὶ μὴν χθὲς γὰρ ἦν Πέρδιξ χωλός. τούτου δὲ πολλοὶ μέ- F μνηνται. ἀπὸ τούτου δέ φασι τὴν παροιμίαν Πέρδικος σκέλος. ἧς καὶ Ἀριστοφάνης ἐν τοῖς ἀμέτροις παροιμίαις μνημονεύει. Μενίππῳ δὲ ἦν χελιδών.] διὰ τὸ ἱπποτρόφον εἶναι καὶ καυτηρίᾳ τοῦτον χρῆσθαι, οὕτως ὠνομάσθη. Ὀπουντίῳ δ᾽ ὀφθαλμὸν] Δίδυμος ὡς τοιούτου τὴν ὄψιν ὄντος μνημονεύει αὐτοῦ καὶ μέγα ῥύγχος ἔχοντος, καὶ ὁ τὰς Ἀταλάντας γράψας καὶ Εὔπολις ἐν Ταξιάρχαις. Σύμμαχος. φαίνονται τὸν Λυκοῦργον Αἰγύπτιον εἶναι νομίζοντες. ἢ τὸ γένος, ἢ τοὺς τρόπους. Φερεκράτης ἀγρίοις. οἶμαι δ᾽ G αὐτὸν κινδυνεύειν εἰς τὴν Αἴγυπτον φέροντα οἰκείας λέξεις, ἵνα μὴ συνέχῃ τοῖσι Λυκούργου πατριώταις μήποτε καὶ εἰς τὸ αὐτὸ καὶ Κρατῖνος Δηλιάσι. τούτοις δὲ ὄπισθεν ἴτω φέρων δίφρον Λυκοῦργος ἔχων καλάσιριν. ὁ δὲ καλάσιρις, χιτὼν πλατύσημος. φησὶ δὲ Κηφισόδημος ὅτι Αἰγυπτίων ἡ λέξις. διαβάλλεται δὲ αὐτὸς, ἢ ὡς ξένον ἢ ὡς πονηρόν.